# TEZAUR LITURGIC

## 10 DECEMBRIE

HARALAMBOS BOUSIA

# PARACLISUL SF.MUCENICI MINA,ERMOGHEN ŞI EVGRAF DE LA ALEXANDRIA

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 10 ΔΕΚΕΜΒΡΙΟΣ
# ΕΡΜΟΓΕΝΗΣ ΜΑΡΤΥΣ
# ΑΚΟΛΟΥΘΙΑ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Δρ.Χαραλάμπους Μ. Μπούσια**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τὸν τροπαιοῦχον ἀθλητὴν Ἑρμογένην, τὸν ἑλκυσθέντα εἰς Χριστοῦ θείαν πίστιν, παρὰ Μηνᾶ τοῦ Μάρτυρος μεθ’ οὗ καρτερῶς, αἰκισμοὺς καὶ μάστιγας καὶ τιμίου αὐχένος, τμῆσιν καθυπέμεινεν εὐφημήσωμεν πόθῳ, λιτὰς σεπτὰς αὐτούμενοι αὐτοῦ, πρὸς ἀθλοθέτην Χριστόν τὸν Θεάνθρωπον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ἑρμόγενες, Κύριον ὑπὲρ ἡμῶν ἐκδυσώπει. Χ.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Ἑρμόγενες Μάρτυς περικλεές, ἐν Ἀλεξανδρείᾳ, ὁ ἀθλήσας σὺν τῷ Μηνᾷ, τῷ Καλλικελάδῳ καὶ Εὐγράφῳ, ὑπὲρ ἡμῶν τῶν Χριστὸν καθικέτευε.

Ῥανίσιν αἱμάτων σου τῶν σεπτῶν, φοινίξας στολήν σου, χρυσοΰφαντον τῆς ψυχῆς, Ἑρμόγενες εἴληφας τὴν χάριν, κατακοσμεῖν εὐσεβείᾳ σοὺς πρόσφυγας.

Μαρτύρων τῆς πίστεως θεαυγῶν, Ἑρμόγενες κλέος, μὴ ἐλλίπῃς ὑπὲρ ἡμῶν, πρεσβεύειν τὴν πίστει σε τιμώντων, καὶ ἀνυμνούντων σὴν ἔνδοξον ἄθλησιν.

*Θεοτοκίον.*

Οὐράνωσον φρόνημα τῶν πιστῶν, σὲ μακαριζόντων, ὡς Μητέρα τοῦ Λυτρωτοῦ, φιλόστοργον Κεχαριτωμένη, καὶ χοϊκῶν πάντων ἄγρυπνον σώτειραν.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψίδος.*

Γεωργοὺς τῆς ἀγάπης, τῆς ἐν Χριστῷ ἔνδοξε, ἀθλητὰ Ἑρμόγενες δεῖξον, τοὺς ἀνυμνοῦντάς σε, ὡς γεωργὸν ἀκραιφνοῦς, ἀνδρείας θείῳ ἀρότρῳ, αἵματος ὀργώσαντα τὴν Ἀλεξάνδρειαν.

Ἑλκυσθεὶς εἰς τὴν πίστιν, τοῦ Ἰησοῦ ἔπαρχε, τὴν λαμπρὰν καὶ σωτηριώδη, Μάρτυς Ἑρμόγενες, παρὰ Μηνᾶ σὺν αὐτῷ, κατηξιώθης ἀθλῆσαι, μεθ᾽ οὗ νῦν ἱλέωσαι ἡμῖν τὸν Κύριον.

Νικητὴς ἀνεδείχθης κατ᾽ ἀσεβοῦς τάγματος, σέβοντος ὡς πρὶν σὺ εἰδώλων ἄψυχα ξόανα· διὸ πρεσβεύεις Χριστῷ, νίκας ἱκέταις δωρῆσαι, κατ᾽ ἐχθρῶν Ἑρμόγενες, πάντων τῆς πίστεως.

Εὐσυμπάθητε Μάρτυς, λαμπροῦ Μηνᾶ σύναθλε, οὗ ἡ γενναιότης εἰς πίστιν Κτίστου προσείλκυσεν, ὑπὲρ ἡμῶν ἐκτενῶς τῷ φιλανθρώπῳ Κυρίῳ, πρέσβευε Ἑρμόγενες, τῶν εὐφημούντων σε.

*Θεοτοκίον.*

Σοῖς οἰκέταις εἰρήνην βιοτικὴν δώρησαι, Κεχαριτωμένη Μαρία σὲ μεγαλύνουσιν, ἁπλοῦσα πᾶσιν ἡμῖν τῆς ἡσυχίας νεφέλην, Εἰρηνάρχου Κτίσαντος, Μῆτερ φιλόστοργε.

Ἀξίωσον, βραβείων νίκης, Ἑρμόγενες ἀθλοφόρε, τοὺς τιμῶντάς σε ἀκλινῶς, ἐν μάχαις ἀείποτε ἐχθρῶν, κατ᾽ ἀπίστων, μεγαλομάρτυς.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Αἴτησις καὶ τὸ Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Παράσχου ἡμῖν ἰσχὺν ἐχθροῦ τὰ βέλεμνα, πατῆσαι στεῤῥὲ μεγάλαθλε Ἑρμόγενες, ὁ πατήσας φρύαγμα, μισοχρίστων σεβόντων φεῦ εἴδωλα, καὶ σὺν Μηνᾷ ἀθλήσας ἀνδρικῶς, ὑπὲρ τοῦ Χριστοῦ τῆς θείας πίστεως.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Κλῆσιν μάρτυς Ἑρμόγενες, τοῦ σεπτοῦ ὀνόματος τοῦ Παντάνακτος, ἐν σταδίῳ ὡμολόγησας, πρεσβευτὰ ἡμῶν πρὸς Κτίστην ἔνθερμε.

Ὑμνῳδίαις ἑκάστοτε, στέφοντές σε Μάρτυς Χριστοῦ Ἑρμόγενες, δυσωποῦμέν σε· ἐκδίωξον, νόσων ἀφ᾽ ἡμῶν ἀχλὺν σῇ χάριτι.

Ῥεύμασί σου Ἑρμόγενες, ὁ καθαγιάσας τὴν Ἀλεξάνδρειαν, τῶν αἱμάτων καθαγίασον, ῥείθροις πρεσβειῶν σου τοὺς ἱκέτας σου.

*Θεοτοκίον.*

Ἱκετεύομεν Δέσποινα, ἐξελοῦ σοὺς δούλους παντοίων θλίψεων, ἀναγκῶν καὶ περιστάσεων, τοὺς ἐκδεχομένους τὴν Σὴν εὔνοιαν.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ὄλβον ὡς σεπτόν, ὑπεδέξατο Βυζάντιον, τὸ σὸν λείψανον Ἑρμόγενες σεπτέ, παρὰ θῖν᾽ ἁλὸς αὐτοῦ ὅ ξένως ἔφθασε.

Νεῦσον ταῖς ἡμῶν, παρακλήσεσιν Ἑρμόγενες, καὶ ἐκπλήρου τὰς αἰτήσεις τῶν πιστῶς, ἀνυμνούντων κεφαλῆς σου θείας ἔκτμησιν.

Ὕμνοις σε ἀεί, καταστέφοντες Ἑρμόγενες, δυσωποῦμέν σε· ἀπέργασαι ἡμῖν, τὸν Παντάνακτα Μεγαλομάρτυς ἵλεων.

*Θεοτοκίον.*

Πάναγνε ἡμῶν σὲ τιμώντων πόθῳ μέμνησο, Θεοτόκε τῶν τοὺς ἄθλους τοὺς στεῤῥούς, Ἑρμογένους ἀνυμνούντων τοῦ ἀλκίφρονος.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἑρμόγενες, ἀθλητὰ μεγάλαθλε, τοῦ Μηνᾶ συναθλητὰ τροπαιοῦχε, καὶ τοῦ Εὐγράφου ἐν Ἀλεξανδρείᾳ, ἀεὶ Χριστὸν σὺν αὐτοῖς καθικέτευε,

διδόναι δύναμιν ἡμῖν, καὶ ἰσχὺν ἄμφω τρῶσαι τὸν δόλιον.

Ῥωννύμενοι, σοῦ ταῖς παρακλήσεσι, πρὸς τὸν Κύριον τῆς δόξης βοῶμεν· Καλλικελάδου Μηνᾶ ὁ θαυμάσας, τὴν παῤῥησίαν τρισμάκαρ Ἑρμόγενες, καὶ ὑπ' αὐτοῦ προσελκυσθεὶς, εἰς τὴν πίστιν ἀξίως δεδόξασαι.

Ἡ πάνσεπτος, λάρναξ τῶν λειψάνων σου, καὶ αὐτῶν Μηνᾶ τοῦ Καλλικελάδου, εἰς Βασιλίδα τῶν Πόλεων ξένως ἐλιμενίσθη ἀλκίφρον Ἑρμόγενες, πιστῶν ἁπάντων στηριγμὲ, καὶ ἀκέστορ καὶ φύλαξ καὶ πρόμαχε.

*Θεοτοκίον.*

Μητρόθεε, ἐκτενῶς ἱκέτευε, ὑπὲρ πάντων χριστωνύμων σὸν Τόκον, τῶν ἐκτελούντων τὴν πάνσεπτον μνήμην, τοῦ Ἑρμογένους λαμπροῦ καλλιμάρτυρος, καὶ εἰς αἰῶνας εὐλαβῶς, ἀνυμνούντων πληθὺν θαυμασίων σου.

Ἀξίωσον, βραβείων νίκης Ἑρμόγενες ἀθλοφόρε, τοὺς τιμῶντάς σε ἀκλινῶς ἐν μάχαις ἀείποτε, ἐχθρῶν κατ᾽ ἀπίστων Μεγαλομάρτυς.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα, μητρικὴν παῤῥησίαν.

*Αἴτησις καὶ τὸ Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Τὸν αἰκισμοὺς καὶ εἱρκτὴν ὑπομείναντα, καὶ κεφαλῆς πανιέρου ἀπότμησιν, νῦν Ἑρμογένην τὸν Μάρτυρα μέλψωμεν, ὡς ἀθλητὴν τροπαιοῦχον αἰτούμενοι, αὐτοῦ τὰς ἐντεύξεις πρὸς Κύριον.

Προκείμενον: *Θαυμαστός, ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στίχος: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον κατὰ Ἰωάννην. (Κεφ. ιε΄17-27,ιστ΄1-2). Ζήτει εἰς τὴν Λειτουργίαν τοῦ Ἁγίου Γεωργίου τοῦ Τροπαιοφόρου.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις, Ἐλεῆμον...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στίχος. *Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Εὔψυχε Ἑρμόγενες, Ἀλεξανδρείας τὴν χθόνα, ὁ ἀρδεύσας ῥείθροις σου, τῶν αἱμάτων πρόσδεξαι τήνδε δέησιν, ἥν σοι προσάγομεν, τῶν φιλομαρτύρων, οἱ χοροὶ καὶ πᾶσι βράβευσον, χαράν, ὁμόνοιαν, σθένος ψυχικὸν, ῥώμην δύναμιν, σοφίαν καὶ τελείωσιν, ἀρετῆς καὶ ἄμφω ὑγιείαν, τοῖς ἐν εὐλαβείᾳ προστρέχουσι νοΐ σου τῷ σεπτῷ, τῷ ἐν τῇ Λέσβῳ μεγάλαθλε, μάρτυς ἀκατάβλητε.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὡραιότης μαρτύρων, καθυπέμεινας χαίρων τὰ κολαστήρια διὰ Χριστοῦ τὴν πίστιν καὶ ἄρνησιν εἰδώλων πλάνης, μάρτυς Ἑρμόγενες, ὁ ἱλεούμενος νῦν ἡμῖν Θεὸν τὸν ζῶντα.

Νῦν τὸν ἔπαρχον πάντες, γεραρὸν Ἑρμογένην, τοῦ εὐσεβόφρονος λαοῦ πρὶν τὸν διώκτην αὐτοῦ ὑπερμαχοῦντα εἶτα μέλψωμεν κράζοντες· δογμάτων προασπιστὰς ὀρθῶν ἡμᾶς νῦν δεῖξον.

Εὐμενῆ κηδεμόνα σὲ πλουτοῦντες προστάτην καὶ ἀντιλήπτορα, Ἑρμόγενες γενναῖε, προσφεύγομεν ἐν πίστει σαῖς θερμαῖς παρακλήσεσι πρὸς τὸν Σωτῆρα Χριστόν, λαμπρὲ μεγαλομάρτυς.

*Θεοτοκίον.*

Κακοδόξων τὰ σμήνη, Θεοτόκε Παρθένε, ἀποσκοράκισον εὐχαῖς σου ἀσιγήτοις πρὸς τὸν μονογενῆ σου Ἰησοῦν τὸν εὐΐλατον καὶ ὀρθοδόξων χοροὺς κραταίωσον ἐν πίστει.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Δύναμιν δός μοι, ἰσχὺν Ἑρμόγενες πλάνου, τὴν μανίαν ἐν τάχει πατῆσαι, ὁ καταπατήσας, ὀφρὺν λατρῶν εἰδώλων.

Ὑμνῶν σε κράζω· γενοῦ ἡμῶν παραστάτης, ἐν κινδύνοις Ἑρμόγενες Μάρτυς, καὶ ταχὺς ἀκέστωρ, ἐν πάσαις βίου ζάλαις.

Στενὴν βαδίσαι, ἀξίωσόν με τὴν τρίβον, ἀρετῶν στεφανῖτα γενναῖε, ἀθλητῶν σταδίου, Ἑρμόγενες κοσμῆτορ.

*Θεοτοκίον.*

Ὡς ἐν γαστρί σου, Χριστὸν ξενίσασα Μῆτερ, ἀπολαῦσαι ἡμᾶς τῆς ξενίας, οὐρανῶν σοὺς δούλους, ἀξίωσον Παρθένε.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Προστάτης ἴσθι πάντων, σὲ μακαριζόντων, ὡς εὐτολμίας πυξίον Ἑρμόγενες, καὶ θησαυρὸν εὐψυχίας πολυτιμότατον.

Ἐπάκουσον τῶν πίστει, προστρεχόντων Μάρτυς, ταῖς σαῖς λιταῖς πρὸς τὸν Κτίστην Ἑρμόγενες, ὑπὲρ ἀγάπης Οὗ αἷμα τὸ σὸν ἐξέχεας.

Ἱκέτευε δοθῆναι, πᾶσί σε τιμῶσιν, ἄμφω ὑγιείαν Μάρτυς Ἑρμόγενες, ὁ παῤῥησίᾳ κηρύξας Χριστοῦ ἀλήθειαν.

*Θεοτοκίον.*

Χαρὰ χριστεπωνύμων, Κεχαριτωμένη, τῶν λυπηρῶν μου ἀχλὺν ἐξαφάνισον, τοῦ Φωτοδότου Υἱοῦ σου τῇ θείᾳ χάριτι.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν

Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Ἐν Ἀλεξανδρείᾳ μαρτυρικῶς, σὺν Μηνᾷ τῷ θείῳ, ἐπεσφράγισας βιοτήν, βρότειόν σου μάκαρ, Ἑρμόγενες καὶ στέφος, χρυσόπλοκον ἀφθίτου, νίκης ἀπείληφας.

Δεῦτε ἀνυμνήσωμεν ἐν χορῷ, θεῖον Ἑρμογένην, τὸν ἀθλήσαντα σὺν Μηνᾷ, τῷ Καλλικελάδῳ, καὶ θαυμαστῷ Εὐγράφῳ, ἐν τῇ Ἀλεξανδρείᾳ ὡς καλλιμάρτυρα.

Χαίροις γενναιότητος ποταμός, χαίροις ὁ χειμάῤῥους εὐψυχίας μαρτυρικῆς, χαίροις θεία κρήνη, Ἑρμόγενες ἀνδρείας, ἐκβλύζουσα καὶ τόλμης, ὕδωρ ἀείῤῥυτον.

Σκῆνός σου τὸ πάνσεπτον σὺν αὐτῷ, τοῦ Καλλικελάδου, εἰς τὸ πέλαγος τὸ ῥιφθέν, ἧκεν εἰς τὴν πόλιν, τοῦ Κωνσταντίνου ξένως, Ἑρμόγενες πρὸς αἶνον, σοῦ τῆς ἀθλήσεως.

Χαίροις τῆς ἀνδρείας ἡ ἀπαρχή, σύνοικε σοφίας καὶ πυξίον ὑπομονῆς, ὁ Χριστοῦ τὴν πίστιν, Ἑρμόγενες δοξάσας, σῇ ἀκραιφνεῖ ἐνστάσει, καὶ ῥείθροις αἵματος.

Δόξης ἀπολαύων τῶν οὐρανῶν, ὀλετὴρ εἰδώλων ἀδοξίας με τῶν παθῶν, ῥύου ἀθλοφόρε, Ἑρμόγενες τὸν πίστει, προστρέχοντα καὶ πόθῳ τῇ ἀντιλήψει σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Πάντας καταξίωσον χαρᾶς, τῆς ἐν πόλῳ δόξης ἀλήκτου, περικλεὲς ἀθλητά, εὐσταλὲς Ἑρμόγενες, Μαρτύρων πρώταθλε, ὁ ἀθλήσας ὡς πάσχοντος ἐν Ἀλεξανδρείᾳ, ἄλλου καὶ φιλόθεον, φαιδρύνας σύνταγμα, κράζομεν μεγάλαθλε Μάρτυς, ἵνα

μεγαλύνωμεν πόνους, δι᾽ ἀγάπην Κτίστου οὓς ὑπέμεινας.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.
Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*

